τὸ ἀπὸ τοῦ ΕΖΗΘ τετραγώνου πυραμὶς ἰσοϋψὴς τῷ κώ-
νῳ. ἡ ἄρα ἀναγραφεῖσα πυραμὶς μείζων ἐστὶν ἢ τὸ ἥμι-
συ τοῦ κώνου· ἐπειδήπερ ἐὰν περιγράψωμεν περὶ
τὸν κύκλον τετράγωνον, καὶ ἀπ' αὐτοῦ ἀναστήσωμεν πυ-
ραμίδα ἰσοϋψῆ τῷ κώνῳ, ἡ ἀναγραφεῖσα πυραμὶς
ἥμισύ ἐστι τῆς περιγραφείσης· πρὸς ἀλλήλας γάρ
εἰσιν ὡς αἱ βάσεις· ἐλάττων δὲ ὁ κῶνος τῆς περι-
γραφείσης πυραμίδος. τετμήσθωσαν αἱ ΕΖ ΖΗ ΗΘ
ΘΕ περιφέρειαι δίχα κατὰ τὰ Ο Π Ρ Σ σημεῖα· καὶ ἐπε-
ζεύχθωσαν αἱ ΘΟ ΟΕ ΕΠ ΠΖ ΖΡ ΡΗ ΗΣ ΣΘ· ἕκαστον ἄρα
τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ τριγώνων μεῖζόν ἐστιν ἢ τὸ ἥμι-
συ τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κύκλου· ἀνεστάτω
ἀφ' ἑκάστου τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ τριγώνων πυ-
ραμὶς ἰσοϋψὴς τῷ κώνῳ· καὶ ἑκάστη ἄρα τῶν ἀνα-
σταθεισῶν πυραμίδων μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ
καθ' ἑαυτὴν τμήματος τοῦ κώνου· τέμνοντες δὴ
τὰς ὑπολειπομένας περιφερείας δίχα καὶ ἐπιζευ-
γνύντες εὐθείας καὶ ἀνιστάντες ἐφ' ἑκάστου τῶν τριγώ-
νων πυραμίδας ἰσοϋψεῖς τῷ κώνῳ καὶ ἀεὶ τοῦτο ποι-
οῦντες, καταλείψομεν τινὰ ἀποτμήματα τοῦ κώνου
ἃ ἔσται ἐλάσσονα τοῦ Ξ στερεοῦ· λελείφθω καὶ ἔσ-
τω τὰ ἐπὶ τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ· λοιπὴ ἄρα ἡ πυρα-
μὶς ἧς βάσις τὸ ΘΟΕΠ ΖΡΗΣ πολύγωνον, ὕψος δὲ
τὸ αὐτὸ τῷ κώνῳ, μείζων ἐστὶ τοῦ Ξ στερεοῦ· ἀναγε-
γράφθω καὶ εἰς τὸν ΑΒΓΔ κύκλον τῷ ΘΟΕΠ ΖΡΗΣ πο-
λυγώνῳ ὅμοιόν τε καὶ ὁμοίως κείμενον πολύγωνον

./. ἡ ἐν πυραμὶς ἧς βάσις τὸ ΕΖΗΘ, κορυφὴ ἡ αὐτὴ τοῦ κώνου, μείζων ἢ τὸ ἥμισυ τοῦ κώνου.

ἔστι τὰ Ξ στερεὰ ... ἐν κώνῳ ἀλλὰ τὰ ἐπὶ ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ ἀποτμήματα ... τοῦ Ξ στερεοῦ λοιπὴ ἡ πυραμὶς ἧς βάσις τὸ ΘΟΕ ΠΖΡ ΗΣ πολύγωνον ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ μείζων τοῦ Ξ στερεοῦ

τὸ ΛΤΑΥ ΒΦΓΧ. καὶ ἀνεστάτω ἐπ' αὐτοῦ πυραμὶς ἰσοϋψὴς
τῷ ΑΛ κώνῳ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ
ἀπὸ τῆς ΕΗ, οὕτως τὸ ΛΤΑΥ ΒΦΓΧ πολύγωνον πρὸς
τὸ ΘΟΕΠ ΖΡΗΣ πολύγωνον· ὡς δὲ τὸ ἀπὸ τῆς ΑΓ πρὸς
τὸ ἀπὸ τῆς ΕΗ, οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ
κύκλον· καὶ ὡς ἄρα ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύ-
λείπ. κλον, οὕτως τὸ ΛΤΑΥ ΒΦΓΧ πολύγωνον πρὸς τὸ ΘΟΕΠ
ΖΡΗΣ πολύγωνον· ὡς δὲ ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ
κύκλον, οὕτως ὁ ΑΛ κῶνος πρὸς τὸ Ξ στερεόν· ὡς δὲ
τὸ ΛΤΑΥ ΒΦΓΧ πολύγωνον πρὸς τὸ ΘΟΕΠ ΖΡΗΣ πολύ-
γωνον, οὕτως ἡ πυραμὶς ἧς βάσις μὲν τὸ ΘΟΕΠ ΖΡΗΣ
πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον πρὸς τὴν πυρα-
μίδα ἧς βάσις μὲν τὸ ΘΟΕΠ ΖΡΗΣ πολύγωνον, κορυ-
φὴ δὲ τὸ Ν σημεῖον· καὶ ὡς ἄρα ὁ ΑΛ κῶνος πρὸς τὸ Ξ
στερεόν, οὕτως ἡ πυραμὶς ἧς βάσις μὲν τὸ ΛΤΑΥ ΒΦΓΧ
πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον πρὸς τὴν πυρα-
μίδα ἧς βάσις μὲν τὸ ΘΟΕΠ ΖΡΗΣ πολύγωνον, κορυ-
φὴ δὲ τὸ Ν σημεῖον· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ ΑΛ κῶνος
πρὸς τὴν ἐν αὐτῷ πυραμίδα, οὕτως τὸ Ξ στερεὸν
πρὸς τὴν ἐν τῷ ΕΝ κώνῳ πυραμίδα· μείζων δὲ ὁ ΑΛ
κῶνος τῆς ἐν αὐτῷ πυραμίδος· μεῖζον ἄρα καὶ τὸ Ξ
στερεὸν τῆς ἐν τῷ ΕΝ κώνῳ πυραμίδος· ἀλλὰ καὶ ἔλασ-
σον· ὅπερ ἄτοπον· οὐκ ἄρα ἐστὶν ὡς ὁ ΑΒΓΔ κύκλος
πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΛ κῶνος πρὸς ἔλασ-
σόν τι τοῦ ΕΝ κώνου στερεόν· ὁμοίως δὴ δείξομεν ὅτι
οὐδὲ ὡς ὁ ΕΖΗΘ κύκλος πρὸς τὸν ΑΒΓΔ κύκλον.

τὸ α' τοῦ ιβ'
τὸ ε' τοῦ αυ'
ὑπόκειται γ'.

./. ἐν ἑτέρῳ τὸ ΛΤΑΥ ΒΦΓΧ πολύγωνον

διὰ τὸ πόρισμα τοῦ ε' τοῦ ιβ'

διὰ τὴν ις' τοῦ ε'

διὰ τὴν ιδ' τοῦ ε'